Ἀριθμ. Πρωτ. 536

Τούς εὐσεβείᾳ καί ἀρετῇ κεκοσμημένους καί πολυειδῶς καί πολυτρόπως χρησίμους καί εὐεργετικούς τῇ Ἐκκλησίᾳ ἑαυτούς καταδεικνύντας, ζήλῳ τε ἐνθέῳ περί τά κοινά ἀμφιπονουμένους, τιμᾶν οἶδε, χαίρουσα, ἡ Μήτηρ Ἐκκλησία, ὀφφικίων τε ἀπονομαῖς τήν πρός αὐτούς εὐκαίρως ἐνδεικνῦσα εὔνοιαν.

Ἐπειδή τοίνυν τοιούτοις ἀγαστοῖς εὐσεβείας καί ἀρετῆς, ζηλωτῆς τε φιλοτιμίας καί πρός τήν Ἐκκλησίαν ἀφοσιώσεως, προτερήμασι κεκοσμημένος ἀποδέδεικται καί ὁ Ἐλλογιμώτατος κύριος Ἰωακείμ Καμπουρόπουλος, Λυκειάρχης τοῦ Ἑλληνικοῦ Γυμνασίου - Λυκείου Ἴμβρου, φιλευσεβῶς καί φιλογενῶς πολυτίμους προσφέρων ὑπηρεσίας τῷ καθ᾽ ἡμᾶς Οἰκουμενικῷ Θρόνῳ καί τῇ Παιδείᾳ τοῦ Γένους, ἡ Μετριότης ἡμῶν, ἐπιβραβεῦσαι βουλομένη τήν τοιαύτην αὐτοῦ ἀφοσίωσιν καί προσήλωσιν, ἔγνω, κατ᾽ ἰδίαν Πατριαρχικήν αὐτῆς φιλοτιμίαν καί προαίρεσιν, ἀπονεῖμαι αὐτῷ τό ὀφφίκιον τοῦ Ἄρχοντος Εὐταξίου τῆς καθ᾽ ἡμᾶς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, τῆς εἰς τό ὀφφίκιον τοῦτο προχειρίσεως αὐτοῦ γενομένης ἰδίαις ἡμῶν Πατριαρχικαῖς χερσί, τῇ σήμερον, κ΄ Αὐγούστου ἐ. ἔ., ἐν τῷ Ἱερῷ Ναῷ τοῦ Εὐαγγελισμοῦ τῆς Θεοτόκου Ἀγριδίων.

Ἐφ᾽ ᾧ καί γράφοντες ἀποφαινόμεθα, ἵνα ὁ ἐξονομασθείς Ἐλλογιμώτατος κύριος Ἰωακείμ Καμπουρόπουλος, ὑπάρχῃ ἀπό τοῦ νῦν καί λέγηται Ἐντιμολογιώτατος Ἄρχων Εὐταξίας τῆς καθ᾽ ἡμᾶς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, τῆς προσηκούσης τῷ ὀφφικίῳ τούτῳ τιμῆς πάντοτε καί παρά πάντων ἀπολαύων τε καί ἀξιούμενος.

Ὅθεν, εἰς ἔνδειξιν, ἀπελύθη καί τό παρόν ἡμέτερον Πατριαρχικόν Εὐεργετήριον Γράμμα, δοθέν μετ᾽ εὐχῶν καί εὐλογιῶν ἡμῶν τῷ Ἐντιμολογιωτάτῳ κυρίῳ Ἰωακείμ Καμπουροπούλῳ, Ἄρχοντι Εὐταξίᾳ τῆς καθ᾽ ἡμᾶς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

Ἐν ἔτει σωτηρίῳ ͵βκ΄, κατά μῆνα Αὔγουστον (κ΄)
Ἐπινεμήσεως ΙΓ΄

ἀποφαίνεται β.